ἐξηγοῦνται οὕτως· ἡ μὲν λέξις πεποίηται παρὰ τὰ πέταυρα τῶν παγίδων, ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς· ἀνελκύσας ἐπὶ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς λόγων ἐρωτᾷ ἡμᾶς· οὕτω γὰρ τὸ ὑπερβατόν. εἶτ᾽ ἀνελκύσας σκανδάληθρ᾽ ἱστὰς ἐρωτᾷ ἡμᾶς. σκανδάληθρα δὲ λέγεται τὰ ἐν τοῖς παγίσιν ἐπικαμπῆ ξυλάρια, εἰς ἃ ἐρείδει, ἅπερ Ἀρχίλοχος ῥόπτρον· ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη.

37 Καθαρῶς: ἀκριβῶς. σαφῶς. εἴ τι ἐν Πέρσαις καθαρὸν ἦν Σ Δ
ξυγκαλέσας ἐς πάντας ἐξήνεγκε περὶ τούτων. EL

38 Καθάρσιον: ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ Harp.
θέατρα καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὀνομασθέντες οὕτως ἢ ἀπὸ τοῦ περιστίχειν ἢ ἀπὸ τῆς ἑστίας.

39 Καθαρσιώτερα: λαμπρότερα. καθαρσιώτερα ταῦθ᾽ ὑπάρχειν καὶ E
πολυτελέστερα.

40 Κάθαρσις γυναικῶν μαινουσῶν· ζήτει ἐν τῷ Βάκις.

41 Καθ᾽ αὑτοῦ Βελλεροφόντης: ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπιφε- Prov.
ρόντων. Phil.

καθ᾽ αὑτό δι᾽ αὑτό



ἑτέρου ἕνεκεν δι᾽ ἄλλο

καὶ ἡ μὲν πρώτη ἀντίθεσις λαμβάνεται αὐτῷ ἐκ τῶν ποιητικῶν αἰτίων, ἡ δευτέρα δὲ ἐκ τῶν τελικῶν. οἷον καθ᾽ αὑτὸ μὲν ἔχομεν τὸ ὁρᾶν· τὸν δὲ πλοῦτον οὐ καθ᾽ αὑτό, ἀλλὰ δι᾽ ἄλλο. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἄλλης ἀντιθέσεως. τὴν γὰρ ἀρετὴν δι᾽ αὑτὸ ἐπιτηδεύομεν καὶ οὐκ ἄλλου τινὸς ἕνεκα· κἂν γὰρ μὴ ᾖ ἀμοιβή, αὐτὴ καθ᾽ αὑτὴν ἐπιτηδευτέα ἐστί· τὴν μέντοι ἰσχὺν οὐ δι᾽ αὑτὴν ἔχομεν, ἀλλ᾽ ἑτέρου ἕνεκα. εἴ τι μὲν οὖν δι᾽ αὑτό, τοῦτο πάντως καὶ καθ᾽ ἑαυτό. οὐκ εἴ τι δὲ καθ᾽ αὑτό, τοῦτο πάντως καὶ δι᾽ αὑτό. οἷον δι᾽ αὑτὸ τῇ ψυχῇ ἡ ἀρετή, καὶ ἔστι καθ᾽ αὑτό· τὸ γὰρ ποιητικὸν αἴτιον τῆς ἀρετῆς ἐν αὐτῇ ἐστι τῇ ψυχῇ· οὐ δεῖται γὰρ ἑτέρου ἔξωθεν εἰς κατόρθωσιν τῆς ἀρετῆς. ὁμοίως καὶ τῷ σώματι δι᾽ αὑτό ἐστιν ἡ ὑγεία ἀγαθόν· διὸ καὶ καθ᾽ αὑτό. οὐ μὴν καὶ καθ᾽ αὑτὸ πάντως καὶ δι᾽ αὑτό. καθ᾽ αὑτὸ μὲν γὰρ τῇ ψυχῇ τὸ ὁρᾶν, οὐ μὴν δι᾽ αὑτό, ἀλλὰ δι᾽ ἀρετὴν ἢ διὰ τὸ σῴζεσθαι. ὁμοίως δὲ καὶ εἴ τι μὲν δι᾽ ἄλλο, τοῦτο πάντως καὶ ἑτέρου